GREK 2051 (Spring 2006)

**BIBLICAL READINGS**

supplement to Shelmerdine

**Chapter 27**

Jesus answers questions in Jerusalem.

34 ἀπεκρίθη οὖν αὐτῷ ὁ ὄχλος, Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει
εἰς τὸν αἰῶνα, καὶ πῶς σὺ λέγεις ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν
οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; 35 εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἔτι μικρὸν χρόνον τὸ φῶς
ἐν ὑμῖν ἐστιν. περιπατεῖτε ὡς τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ
περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδεν ποῦ ὑπάγει. 36 ὡς τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ
φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. ταῦτα ἐλάλησεν Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ'
αὐτῶν.

(Κατὰ Ἰωάννην 12.34-36)

αἰών -ῶνος ὁ eternity
ἀπέρχομαι –ελεύσομαι -ῆλθον go away
ἀποκρίνομαι answer
καταλαμβάνω –λήψομαι –έλαβον overtake
κρύπτω hide
λαλέω speak, say
οἶδεν (3 sg) knows
ὄχλος –ου ὁ crowd
περιπατέω live, walk around
σκοτία –ας ἡ darkness
ὑπάγω depart
ὑψόω lift up, exalt
φῶς φωτός τό light